ΕΥΑΓΓΕΛΙΚΑ ΑΝΑΓΝΩΣΜΑΤΑ
ΚΑΙ ΜΕΤΑΦΡΑΣΗ

Κυριακή Β' Λουκά

30 Σεπτεμβρίου 2018

Απόστολος – ΠΡΟΣ Β' ΚΟΡΙΝΘΙΟΥΣ Θ' 6 - 11

Ἀδελφοί, ὁ σπείρων φειδομένως φειδομένως καὶ θερίσει, καὶ ὁ σπείρων ἐπ' εὐλογίαις ἐπ' εὐλογίαις καὶ θερίσει. Ἕκαστος καθὼς προαιρεῖται τῇ καρδίᾳ, μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός. Δυνατὸς δὲ ὁ Θεὸς πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς, ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν, καθὼς γέγραπται· ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. Ὁ δὲ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι καὶ ἄρτον εἰς βρῶσιν χορηγήσαι καὶ πληθύναι τὸν σπόρον ὑμῶν καὶ αὐξήσαι τὰ γενήματα τῆς δικαιοσύνης ὑμῶν· ἐν παντὶ πλουτιζόμενοι εἰς πᾶσαν ἁπλότητα, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ Θεῷ.

Απόστολος – Μετάφραση,
ΠΡΟΣ Β' ΚΟΡΙΝΘΙΟΥΣ Θ' 6 - 11

Αδελφοί, πρέπει να ξέρετε πως όποιος σπέρνει με φειδώ θα έχει λίγη σοδειά· κι όποιος σπέρνει απλόχερα η σοδειά του θα είναι άφθονη. Ο καθένας ας δώσει ό,τι του λέει η καρδιά του χωρίς να στενοχωριέται ή να εξαναγκάζεται, γιατί ο Θεός αγαπάει αυτόν που δίνει με ευχαρίστηση. Ο Θεός έχει τη δύναμη να σας χορηγήσει πλουσιοπάροχα κάθε δωρεά, ώστε να είστε πάντοτε σε όλα τελείως αυτάρκεις, και να δίνετε με το παραπάνω για κάθε καλό σκοπό. Το λέει κι η Γραφή: Σκόρπισε, έδωσε στους φτωχούς, η αγαθοεργία του θα διαρκεί αιώνια. Κι αυτός που δίνει στο σποριά το σπόρο και το ψωμί για να τραφεί, ας δώσει και ας πληθύνει και το δικό σας σπόρο και ας αυξήσει τους καρπούς της αγαθοεργίας σας. Ο Θεός θα σας κάνει πλούσιους σε όλα, για να μπορείτε να δίνετε γενναιόδωρα. Αυτοί που θα πάρουν από μας τη δική σας εισφορά θα ευχαριστούν το Θεό.

Ευαγγέλιο - ΚΑΤΑ ΛΟΥΚΑΝ ΣΤ’ 31-36

Εἶπεν ὁ Κύριος· καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως. Καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; Καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσι. Καὶ ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; Καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσι. Καὶ ἐὰν δανείζητε παρ᾽ ὧν ἐλπίζετε ἀπολαβεῖν, ποία ὑμῖν χάρις ἐστί; Καὶ γὰρ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν ἵνα ἀπολάβωσι τὰ ἴσα. Πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καὶ ἀγαθοποιεῖτε καὶ δανείζετε μηδὲν ἀπελπίζοντες, καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς, καὶ ἔσεσθε υἱοὶ ὑψίστου, ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς. Γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστί.

Ευαγγέλιο – Μετάφραση, ΚΑΤΑ ΛΟΥΚΑΝ ΣΤ’ 31-36

Είπε ο Κύριος: «Όπως θέλετε να σας συμπεριφέρονται οι άνθρωποι, έτσι ακριβώς να συμπεριφέρεστε κι εσείς σ’ αυτούς. Γιατί, αν αγαπάτε αυτούς που σας αγαπούν, ποια εύνοια περιμένετε από το Θεό; Αφού και οι αμαρτωλοί αγαπούν αυτούς που τους αγαπούν. Κι αν κάνετε καλό σ’ αυτούς που σας κάνουν καλό, ποια εύνοια περιμένετε από το Θεό; Και οι αμαρτωλοί το ίδιο κάνουν. Αν δανείζετε σ’ όσους ελπίζετε να σας τα επιστρέψουν, ποια εύνοια περιμένετε από το Θεό; Και οι αμαρτωλοί δανείζουν στους ομοίους τους για να τα πάρουν πίσω. Αντίθετα, εσείς ν’ αγαπάτε τους εχθρούς σας, να κάνετε το καλό και να δανείζετε, χωρίς να περιμένετε να πάρετε πίσω τίποτα. Έτσι, ο Θεός, που είναι καλός ακόμα και με τους αχάριστους και τους κακούς, θα σας ανταμείψει με το παραπάνω και θα σας κάνει παιδιά του. Να είστε λοιπόν σπλαχνικοί, όπως σπλαχνικός είναι κι ο Θεός Πατέρας σας».

30 Σεπτεμβρίου 2018, Έκδοση Ιερού Ναού Παναγίας Παλουριώτισσας
Διεύθυνση: Τ.Θ. 29115, 1621 Λευκωσία
Πηγή : Η Καινή Διαθήκη, Έκδοση Ιεράς Συνόδου της Εκκλησίας Κύπρου
Υπεύθυνος: Πρωτοπρεσβύτερος Μιχαήλ Μαλιάππης